# HERODICUS

## I

φεύγετ᾽, Ἀριστάρχειοι, ἐπ᾽ εὐρέα νῶτα θαλάσσης
Ἑλλάδα, τῆς ξουθῆς δειλότεροι κεμάδος,
γωνιοβόμβυκες μονοσύλλαβοι, οἷσι μέμηλε
τὸ σφὶν καὶ σφῶιν καὶ τὸ μὶν ἠδὲ τὸ νίν.
τοῦθ᾽ ὑμῖν εἴη, δυσπέμφελοι· Ἡροδίκῳ δέ
Ἑλλὰς ἀεὶ μίμνοι καὶ θεόπαις Βαβυλών.

# PHILIPPUS

## I

ἄφλοιος καὶ ἄφυλλος, ὁδοιπόρε, τῷδ᾽ ἐπὶ νώτῳ
Ἀλκαίῳ σταυρὸς πήγνυται ἠλίβατος.

# SAMIUS

## I

σοὶ γέρας, Ἀλκείδα Μινυαμάχε, τοῦτο Φίλιππος
δέρμα ταναιμύκου λευρὸν ἔθηκε βοός
αὐτοῖς σὺν κεράεσσι, τὸν ὕβρεϊ κυδιόωντα
ἔσβεσεν Ὀρβηλοῦ τρηχὺν ὑπὸ πρόποδα.
ὁ φθόνος αὐαίνοιτο, τεὸν δ᾽ ἔτι κῦδος ἀέξοι
ῥίζα Βεροιαίου κράντορος Ἠμαθίας.